UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

Isidorus <Pelusiota>

Parisiis, 1585

Eidem. 48.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

tum laſciuiam ignominia & dedecore affecit, illos ipſos qui deliquerũt impunitos abire ſinet.

ἀκρασίαν, αὐτοὺς τοὺς πλημμελήσαντας ἀτιμωρήτους ἀφήσει.

Eidem. 47.

Si iis, qui vitæ conſuetudinem cum Euſebio habent, duorum alterum neceſſe eſt, nimirum vt vel in ipſius offenſionem atque odium incurrant, aut intemperantię ipſius ſocij ac participes ſint (ſiquidẽ graues & temperãtes extrudit, eos autem qui petulanter atque inhoneſtè ſe gerere norunt, charos habet) author tibi fuerim vt ipſius conſuetudinem & contubernium fugias, ne peſtilentem morbum contrahas.

Τῷ αὐτῷ. μζ.

Εἰ ἀνάγκη τοῖς συνοῦσιν Εὐσεβίῳ, δυοῖν θάτερον συμπεσεῖν, ἢ μεμισῆσθαι ἢ μετέχειν τῆς ἀκρασίας· ἐπειδὴ τοὺς μὲν σώφρονας ἀπελαύνει, τοὺς δ᾽ εἰδότας ἀσχημονεῖν, ἀγαπᾷ· παραινέσαιμί σε φεύγειν τὴν τῶν αὐτῶν διατριβὴν, μὴ λοιμικοῦ νοσήματος ἀπολαύσῃς.

Eidem. 48.

Eum, ô modeſtiæ natiuum ſimulacrũ, haudquaquam laudo, qui in priuata quidem vita perquàm ſummiſſum & humilẽ ſe præbet, in imperio autem ac magiſtratu maiora, quàm pro humanæ conditione, opinionis errore ſibi fingat (ignaui enim profectò atque ingeneroſi & plebei hoc eſſe exiſtimo:) verùm eum, qui, cùm in priuatorum numero eſt, ſublimem & excelſum, cùm autem præſul creatus eſt, facilem ſe ac modeſtum præſtat, morbóſque vtrique rei inſidiantes vitat, illi nimirum humilitatem, huic autem ſuperbiam.

Τῷ αὐτῷ. μη.

Οὐκ ἀποδέχομαι, ὦ μετριοφροσύνης αὐτόξεστον ἄγαλμα, τὸν ἐν μὲν τῷ ἰδιωτεύειν ταπεινὸν ἄγαν φαινόμενον, ἐν δὲ τῷ ἄρχειν μείζονα τῆς ἀνθρωπίνης φύσεως φανταζόμενον· ἀγεννοῦς γὰρ καὶ ἀνάνδρου καὶ ἰδιωτικῆς τῷ ὄντι τοῦτ᾽ ἡγοῦμαι ψυχῆς εἶναι τεκμήριον. ἀλλ᾽ ἰδιώτης μὲν ὢν, ὑψηλὸς τυγχάνοι· ἄρχων δ᾽ ἀποφανθεὶς ἐπιεικὴς καὶ μέτριος, καὶ τὰ ἐφεδρεύοντα ἑκατέρῳ πράγματι νοσήματα διαφύγοι, τοῦ μὲν τὴν ταπεινότητα, τοῦ δὲ τὴν ὑπεροψίαν.

Palladio. 49.

Cùm à vitio abſtinueris, tum de virtute quoque conſiderationem abs te inıri æquum fuerit. Si enim illud propulſaris, tum etiam quodnam virtutis genus arripere debeas, conſiderare licebit. Priuſquã autem fundamenta rectè iacta ſint, de fine atque faſtigio verba facere ſuperuacaneũ eſſe iudico.

Παλλαδίῳ. μ.

Ὅταν τῆς κακίας ἀπόσχοιο, τότε καὶ περὶ ἀρετῆς σκοπεῖν ἂν εἴης δίκαιος. ἐὰν γὰρ ἐκείνην ἀποτρίψαιο, τότε καὶ περὶ τοῦ τίνα τρόπον ἀρετῆς ἀντιλάβοιο ἐξέσται σκοπεῖν. πρὶν δὲ τὴν ἀρχὴν καὶ τὴν κρηπῖδα ὀρθῶς ὑποθέσθαι, περιττὸν ἡγοῦμαι περὶ τῆς τελευτῆς καὶ τῆς κορωνίδος διεξελθεῖν.

Theodoro Auguſtalio. 50.

Etiamſi quiſpiam rex ſit, atque opibus circunfluat, ac voluptatibus cumuletur,

Θεοδώρῳ Αὐγουσταλίῳ. ν.

Εἰ καὶ βασιλεύς τις εἴη, καὶ περιρρέοντα ἔχει τὸν πλοῦτον, καὶ εὐφροσύ-